# ΘΟΥΚΥΔΙΔΟΥ

## ΙΣΤΟΡΙΩΝ Α

Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελο- 1
ποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους,
ἀρξάμενος εὐθὺς καθισταμένου καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι
καὶ ἀξιολογώτατον τῶν προγεγενημένων, τεκμαιρόμενος ὅτι
ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ
καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους,
τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον. κίνησις γὰρ αὕτη 2
μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο καὶ μέρει τινὶ τῶν βαρ-

**1** Θουκυδίδης ὁ Ἀθηναῖος συνεγράψατο Eust. 1501, 28 • **1-2** Θουκυδίδης – Ἀθηναίων Plut. *De exilio* 605 C (Pat.–Pohl.–Siev.), [Demetr.] *De eloc.* 44 (Rad.), schol. Aristoph. *Pac.* 212 (Dübner) | Θουκυδίδης – ἐπολέμησαν ἑκάτεροι Anon. *De fig.* Rhet. Gr. III 120, 17 (Sp.) • **1** – p. 26, **5** Θουκυδίδης – ἄλλα Dion. Hal. *Thuc. iud.* 857–58 (Pavano) • **1** – p. 26, **15** Θουκυδίδης – ἀνίσταντο Dion. Hal. *De comp. verb.* 162–65 (Us.–Rad.) • **2-3** ὡς – συνισταμένου Lucian. *Hist. conscr.* 15 (Kilburn) • **4-5** ὅτι – αὐτόν Ael. Dion. η 2 (Erbse) • **7-8** κίνησις – δὴ μεγίστη schol. Aristoph. *Ach.* 1 (Dübner) | κίνησις – ἐγένετο Alex. *De fig.* Rhet. Gr. III 32, 23 (Sp.), Priscian. XVIII 172 (Hertz) • **7** – p. 26, **1** κίνησις – ἀνθρώπων Anon. *Vita* 8 • **8** καὶ μέρει τινὶ τῶν βαρβάρων schol. Thuc. II 7, 1 (Hude).

---

Titulus: Θουκυδίδου ἱστοριῶν α ⟨G⟩ Ud: Θ. συγγραφῆς α A B E: Θ. συγγραφῆς πρῶτον F: Θ. α M²: om. C⁴ • **5** ἦσαν F G⁴, Ael. Dion.: ἦσαν A B C⁴ G M², Dion. Hal.: ησαν E • **6** πρὸς ἑκατέρους A B E G M², Dion. Hal.: om. C⁴ F • **7** post κίνησις add. τε H² • **8** μεγίστη δὴ A B E G M², Dion. Hal. 164, Alex., Priscian.: δὴ μεγίστη C⁴ F, Dion. Hal. 857, Anon. *Vita*, schol. Aristoph.

βάρων, ὡς δὲ εἰπεῖν καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. τὰ γὰρ
πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαίτερα σαφῶς μὲν εὑρεῖν διὰ χρό-
νου πλῆθος ἀδύνατα ἦν, ἐκ δὲ τεκμηρίων ὧν ἐπὶ μακρότα-
τον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει οὐ μεγάλα νομίζω
**2** γενέσθαι οὔτε κατὰ τοὺς πολέμους οὔτε ἐς τὰ ἄλλα. φαί-
νεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη οὐ πάλαι βεβαίως οἰκου-
μένη, ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα καὶ ῥᾳδίως
ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες, βιαζόμενοι ὑπό τινων
2 αἰεὶ πλειόνων. τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμει-
γνύντες ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν οὔτε διὰ θαλάσσης,
νεμόμενοί τε τὰ ἑαυτῶν ἕκαστοι ὅσον ἀποζῆν καὶ περιουσίαν
χρημάτων οὐκ ἔχοντες οὐδὲ γῆν φυτεύοντες, ἄδηλον ὃν ὁπότε
τις ἐπελθὼν καὶ ἀτειχίστων ἅμα ὄντων ἄλλος ἀφαιρήσεται,
τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγού-
μενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο, καὶ δι' αὐτὸ

**1-5** τὰ γὰρ – ἄλλα Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1143, 19 (Walz) • **1–12** τὰ γὰρ – γῆν φυ[ Dion. Hal. *Thuc. iud.* 871–72 (Pavano) • **3-4** ἐκ δὲ – ξυμβαίνει Hermog. *Meth.* 417, 9 (Rabe) • **3-5** ἐκ δὲ – γενέσθαι Dion. Hal. *Ars rhet.* 412 (Us.–Rad.) • **5-6** φαίνεται – οἰκουμένη Dion. Hal. *De Thuc. propr.* 808 (Us.–Rad.) • **8-9** βιαζόμενοι – πλειόνων schol. Aristid. III 43, 34 (Dind.) • **9-10** τῆς γὰρ – ἀλλήλοις Dion. Hal. *De Thuc. propr.* 797 (Us.–Rad.) • **9-15** τῆς γὰρ – ἀνίσταντο Dion. Hal. *De Thuc. propr.* 805 (Us.–Rad.) • **9-10** οὐδ' ἐπιμιγνύντες ἀλλήλοις Alex. *De fig.* Rhet. Gr. III 34, 19 (Sp.); οὐκ ἐπιμιγνύντες ἀλλήλοις Zonae. *De fig.* Rhet. Gr. III 168, 12 (Sp.); οὐκέτι μιγνύντες ἀλλήλοις Anon. *De fig.* Rhet. Gr. III 184, 19 (Sp.) • **11** νεμόμενοί – ἀποζῆν Lex. Vind. 13, 20 (Nauck) | νέμεσθαι Phot. s. v. (Naber) | περιουσία Hesych. s. v. (Schm.) • **13** ἀτειχίστων ὄντων schol. Thuc. I 5, 1 (Hude).

---

**2** πρὸ αὐτῶν suspectum: Τροϊκὰ Herbst, *Philologus*, 38, 1879, 538, alii alia • **3** ἀδύνατα A B E F(ut vid.) $M^2$, Dion. Hal. 164: ἀδύνατον $C^4$ G $F^2$, Dion. Hal. 858 et 871, Greg. Cor. • **6** γὰρ B $C^4$ E F G $M^2$, Dion. Hal.: μὲν A • **11** ἑαυτῶν Pe Pf aliique recc., schol. Θ et P, Dion. Hal. 164 et 805, Lex. Vind.: αὐτῶν F $M^2$, Dion. Hal. 872: αὐτῶν A B $C^4$ E G • **14** ἡγούμεν]οι inc. $\Pi^{32}$ fr. a | πανταχοῦ ἂν ἡγούμενοι codd., Dion. Hal.: ἡγούμενοι πανταχοῦ ἂν $\Pi^{32}$ (ut vid.) • **15** ἀπανίσταντο A B $C^4$ E F G: ἀνίσταντο $M^2$ $\Pi^{32}$, Dion. Hal.

οὔτε μεγέθει πόλεων ἴσχυον οὔτε τῇ ἄλλῃ παρασκευῇ.
μάλιστα δὲ τῆς γῆς ἡ ἀρίστη αἰεὶ τὰς μεταβολὰς τῶν οἰκη- 3
τόρων εἶχεν, ἥ τε νῦν Θεσσαλία καλουμένη καὶ Βοιωτία Πελο-
ποννήσου τε τὰ πολλὰ πλὴν Ἀρκαδίας, τῆς τε ἄλλης ὅσα
ἦν κράτιστα. διὰ γὰρ ἀρετὴν γῆς αἵ τε δυνάμεις τισὶ μείζους 4
ἐγγιγνόμεναι στάσεις ἐνεποίουν ἐξ ὧν ἐφθείροντο, καὶ ἅμα
ὑπὸ ἀλλοφύλων μᾶλλον ἐπεβουλεύοντο. τὴν γοῦν Ἀττικὴν 5
ἐκ τοῦ ἐπὶ πλεῖστον διὰ τὸ λεπτόγεων ἀστασίαστον οὖσαν
ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ αἰεί. καὶ παράδειγμα τόδε τοῦ 6
λόγου οὐκ ἐλάχιστόν ἐστι διὰ τὰς μετοικεσίας τὰ ἄλλα μὴ
ὁμοίως αὐξηθῆναι· ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος οἱ πολέμῳ
ἢ στάσει ἐκπίπτοντες παρ' Ἀθηναίους οἱ δυνατώτατοι ὡς
βέβαιον ὂν ἀνεχώρουν, καὶ πολῖται γιγνόμενοι εὐθὺς ἀπὸ
παλαιοῦ μείζω ἔτι ἐποίησαν πλήθει ἀνθρώπων τὴν πόλιν,
ὥστε καὶ ἐς Ἰωνίαν ὕστερον ὡς οὐχ ἱκανῆς οὔσης τῆς
Ἀττικῆς ἀποικίας ἐξέπεμπον.

**1** οὔτε μεγέθει – παρασκευῇ Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1144, 6 (Walz) • **2-3** μάλιστα γὰρ – οἰκητόρων ἐλάμβανε Max. Tyr. *Diss.* 23, 7 (Hobein) • **3-4** Πελοποννήσου – Ἀρκαδίας Syrian. *Ad Hermog.* IV 66, 1 (Rabe) • **7-9** τὴν γοῦν – ἀεί Max. Tyr. *Diss.* 23, 7 (Hobein) • **7-11** τὴν γοῦν – αὐξηθῆναι Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1144, 9 (Walz) • **8** ἐκ τοῦ – οὖσαν Lex. Vind. 87, 15 (Nauck) | λεπτόγεων schol. Aristid. III 38, 12 (Dind.) | ἀστασίαστον Hesych. α 7816 (Latte) • **9-10** καὶ – ἐστιν Dion. Hal. *Ars rhet.* 412 (Us.–Rad.) • **9-11** παράδειγμα – αὐξηθῆναι Hermog. *Meth.* 417, 14 (Rabe).

---

**1** παρασκευῇ codd., Greg. Cor.: διανοίᾳ $\Pi^{32}$, γρ. $H^2$ • **3** νῦν Θεσσαλία codd.: Θετταλία νῦν $\Pi^{32}$ • **3-4** Πελοποννήσου τε τὰ πολλὰ codd., Syrian.: Πελοπόννησος [τε] $\Pi^{32}$, def. Maddalena, *RFIC*, 83, 1955, 422 • **5** post μείζους add. ἔτι $H^2$ [$\Pi^{32}$] • **6** καὶ om. $M^2$ [$\Pi^{32}$] • **10** μετοικεσίας γρ. $H^2$ (μετοικήσεις coniecerat Ullrich, *Beitr. z. Erkl.* p. 174): μετοικίας ἐς A B $C^4$ E F $M^2$, Hermog., Greg. Cor.: ἀποικίας ἐς G [$\Pi^{32}$] • **11** οἱ A B $C^4$ E F G: ἢ $M^2$ [$\Pi^{32}$] • **16** ἐξέπεμ]π[ον fort. $\Pi^{32}$: ἐξέπεμψαν codd.

**3** Δηλοῖ δέ μοι καὶ τόδε τῶν παλαιῶν ἀσθένειαν οὐχ ἥκιστα·
πρὸ γὰρ τῶν Τρωικῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργα-
2 σαμένη ἡ Ἑλλάς· δοκεῖ δέ μοι, οὐδὲ τοὔνομα τοῦτο ξύμπασά
πω εἶχεν, ἀλλὰ τὰ μὲν πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ
πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη, κατὰ ἔθνη δὲ ἄλλα τε καὶ
τὸ Πελασγικὸν ἐπὶ πλεῖστον ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέ-
χεσθαι, Ἕλληνος δὲ καὶ τῶν παίδων αὐτοῦ ἐν τῇ Φθιώτιδι
ἰσχυσάντων, καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελίᾳ ἐς τὰς ἄλλας
πόλεις, καθ' ἑκάστους μὲν ἤδη τῇ ὁμιλίᾳ μᾶλλον καλεῖσθαι
Ἕλληνας, οὐ μέντοι πολλοῦ γε χρόνου ἐδύνατο καὶ ἅπασιν
3 ἐκνικῆσαι. τεκμηριοῖ δὲ μάλιστα Ὅμηρος· πολλῷ γὰρ ὕστε-
ρον ἔτι καὶ τῶν Τρωικῶν γενόμενος οὐδαμοῦ ⟨ οὕτω ⟩ τοὺς
ξύμπαντας ὠνόμασεν, οὐδ' ἄλλους ἢ τοὺς μετ' Ἀχιλλέως ἐκ
τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν, Δαναοὺς
δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀργείους καὶ Ἀχαιοὺς ἀνακαλεῖ. οὐ μὴν
οὐδὲ βαρβάρους εἴρηκε διὰ τὸ μηδὲ Ἕλληνάς πω, ὡς ἐμοὶ
4 δοκεῖ, ἀντίπαλον ἐς ἓν ὄνομα ἀποκεκρίσθαι. οἱ δ' οὖν ὡς ἕκαστοι
Ἕλληνες κατὰ πόλεις τε ὅσοι ἀλλήλων ξυνίεσαν καὶ ξύμπαν-
τες ὕστερον κληθέντες οὐδὲν πρὸ τῶν Τρωικῶν δι' ἀσθένειαν

**3-4** δοκεῖν – εἶχεν ἡ χώρα Constant. Porphyrog. *De them.* 5, 5 (Pertusi) • **9** καθ' ἑκάστους – ὁμιλίᾳ schol. Thuc. VIII 53, 1 (Hude) • **12-14** οὐδαμοῦ – Φθιώτιδος Constant. Porphyrog. *De them.* 5, 9 (Pertusi) • **16-17** διὰ – ἀποκεκρίσθαι Strabo 8, 6, 6 et 14, 2, 28 (Jones), Eust. 367, 35.

---

**2** φ[αίνεται des. Π$^{32}$ fr. a • **3** ξύμπασά inc. m. pr. in M • **4** πω codd.: πως Constant. Porphyrog., γρ. G$^{2}$ • **7** Φθιωτίδι E F$^{4}$ Ud Pl$^{1}$: Φθιωτίᾳ A B F G M: Φθοιωτίᾳ C$^{4}$ • **9** μὲν codd.: δὲ schol. Φ ad VIII 53, 1 • **10** ἐδύνατο M$^{4}$, recc., schol. Θ: ἠδύνατο A B C$^{4}$ E F: om. G M • **11** ὕστερον A B C$^{4}$ E F G M: ὕστερος Ud, γρ. schol. Θ • **12** οὕτω add. Reiske, ap. Abresch, *Dill.* p. 7 • **13** post ὠνόμασεν add. Ἕλληνας Constant. Porphyrog. (ante ὠνόμασεν addiderat Matthiä) • **17** ἀντίπαλον codd.: τὸ ἀντίπαλον Strabo • **17-19** ἀντίπαλον – κλη]θέντ[ες Π$^{26}$.

καὶ ἀμειξίαν ἀλλήλων ἀθρόοι ἔπραξαν. ἀλλὰ καὶ ταύτην 5
τὴν στρατείαν θαλάσσῃ ἤδη πλείω χρώμενοι ξυνῆλθον.

Μίνως γὰρ παλαίτατος ὧν ἀκοῇ ἴσμεν ναυτικὸν ἐκτήσατο 4
καὶ τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖστον ἐκράτησε
καὶ τῶν Κυκλάδων νήσων ἦρξέ τε καὶ οἰκιστὴς πρῶτος τῶν
πλείστων ἐγένετο, Κᾶρας ἐξελάσας καὶ τοὺς ἑαυτοῦ παῖδας
ἡγεμόνας ἐγκαταστήσας· τό τε λῃστικόν, ὡς εἰκός, καθῄρει
ἐκ τῆς θαλάσσης ἐφ' ὅσον ἐδύνατο, τοῦ τὰς προσόδους μᾶλλον
ἰέναι αὐτῷ. οἱ γὰρ Ἕλληνες τὸ πάλαι καὶ τῶν βαρβάρων 5
οἵ τε ἐν τῇ ἠπείρῳ παραθαλάσσιοι καὶ ὅσοι νήσους εἶχον,
ἐπειδὴ ἤρξαντο μᾶλλον περαιοῦσθαι ναυσὶν ἐπ' ἀλλήλους,
ἐτράποντο πρὸς λῃστείαν, ἡγουμένων ἀνδρῶν οὐ τῶν ἀδυνα-
τωτάτων κέρδους τε τοῦ σφετέρου αὐτῶν ἕνεκα καὶ τοῖς ἀσθε-
νέσι τροφῆς, καὶ προσπίπτοντες πόλεσιν ἀτειχίστοις καὶ κατὰ
κώμας οἰκουμέναις ἥρπαζον καὶ τὸν πλεῖστον τοῦ βίου
ἐντεῦθεν ἐποιοῦντο, οὐκ ἔχοντός πω αἰσχύνην τούτου τοῦ
ἔργου, φέροντος δέ τι καὶ δόξης μᾶλλον· δηλοῦσι δὲ τῶν τε 2
ἠπειρωτῶν τινες ἔτι καὶ νῦν, οἷς κόσμος καλῶς τοῦτο δρᾶν,

**1-2** ἀλλὰ – συνῆλθον schol. B Hom. K 252 (Dind.) • **3** Μίνως – ἐκτήσατο schol. Aristid. III 490, 19 (Dind.) • **7** τό τε – καθῄρει Thom. Mag. 224, 4 (Ritschl) | ἐκάθηρε δὲ τοῦ λῃστικοῦ schol. Aristid. 87, 9 (Dind.) • **7-8** τό τε – θαλάττης Ael. Dion. λ 11 (Erbse) | τὴν ἐπικειμένην ἐκάθηρε θάλατταν Aristid. I 181 (Dind.) • **14-16** pr. καὶ – ἐποιοῦντο Dion. Hal. *Thuc. iud.* 856 (Pavano) • **18** οἷς – δρᾶν Suid. κ 260 (Adler).

---

**2** στρατείαν $C^4$ F: στρατίαν G: στρατιὰν A B E M, schol. Hom. | πλείω A B $C^4$ E F M, schol. Hom.: τὰ πλείω G $M^1$ | ξυνῆλθον vett., schol. Hom.: ἐξῆλθον Pe (*exierunt* Valla): ξυνεξῆλθον Cobet, *V. L.* p. 428, sed cf. Thompson, *Hermathena*, 56, 1940, 137 sq. • **7** ἡγεμόνας A $C^4$ E F G M: ἡγεμονίας B | ἐγκαταστήσας A B $C^4$ E F: καταστήσας G M | λῃστικόν A B E F, Ael. Dion., Thom. Mag.: λῃστρικόν $C^4$ G M | καθῄρει codd.: ἐκάθηρε Aristid. (coniecerat Cobet, *V.L.* p. 149) • **9** τὸ codd.: οἱ $\Pi^{23}$ • **13** τε $\Pi^{23}$: om. codd. • **15** οἰκουμέναις A B $C^4$ G M, Dion. Hal.: οἰκουμένας F, ante corr. E (ut vid.) | τὸν A B E F M, schol. Θ, $\Pi^{23}$ in paraphr., Dion. Hal.: τὸ $C^4$ G: om. $\Pi^{23}$ • **18** καλῶς A B $C^4$ F ⟨G⟩, Suid.: καλὸς E M.

καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύστεις τῶν καταπλεόντων
πανταχοῦ ὁμοίως ἐρωτῶντες εἰ λῃσταί εἰσιν, ὡς οὔτε ὧν
πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τε ἐπιμελὲς εἴη εἰδέ-
3 ναι οὐκ ὀνειδιζόντων. ἐλῄζοντο δὲ καὶ κατ᾽ ἤπειρον ἀλλή-
λους. καὶ μέχρι τοῦδε πολλὰ τῆς Ἑλλάδος τῷ παλαιῷ τρόπῳ
νέμεται περί τε Λοκροὺς τοὺς Ὀζόλας καὶ Αἰτωλοὺς καὶ
Ἀκαρνᾶνας καὶ τὴν ταύτῃ ἤπειρον. τό τε σιδηροφορεῖσθαι
τούτοις τοῖς ἠπειρώταις ἀπὸ τῆς παλαιᾶς λῃστείας ἐμμεμέ-
**6** νηκεν· πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει διὰ τὰς ἀφάρκτους
τε οἰκήσεις καὶ οὐκ ἀσφαλεῖς παρ᾽ ἀλλήλους ἐφόδους, καὶ
ξυνήθη τὴν δίαιταν μεθ᾽ ὅπλων ἐποιήσαντο ὥσπερ οἱ βάρ-
2 βαροι. σημεῖον δ᾽ ἐστὶ ταῦτα τῆς Ἑλλάδος ἔτι οὕτω νεμό-
μενα τῶν ποτε καὶ ἐς πάντας ὁμοίων διαιτημάτων.
3 Ἐν τοῖς πρῶτοι δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο
καὶ ἀνειμένῃ τῇ διαίτῃ ἐς τὸ τρυφερώτερον μετέστησαν. καὶ
οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων διὰ τὸ ἁβροδίαιτον
οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φο-

**1** πύστεις Phot. s. v. (Naber), Suid. π 1234 (Adler) • **2-4** ὡς – ὀνειδιζόντων [Demetr.] *De eloc.* 25 (Rad.) • **6-7** περί τε – Ἀκαρνᾶνας Hermog. *Meth.* 417, 13 (Rabe), Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1145, 21 (Walz) • **9** ἅπασα – ἐσιδηροφόρουν Exc. Long. G 24 (Prickard); πᾶσα – ἐσιδηροφόρει Alex. *De fig.* Rhet. Gr. III 33, 20 (Sp.), Tib. *De fig.* 47, 6–7 (Ball.), Zonae. *De fig.* Rhet. Gr. III 168, 6 • **9-10** ἐσιδηροφόρει – ἀσφαλεῖς Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1144, 27 (Walz) | ἀφράκτους οἰκήσεις Hesych. α 8755 (Latte) • **12** σημεῖον – νεμόμενα Dion. Hal. *Ars rhet.* 412 (Us.–Rad.), Hermog. *Meth.* 417, 11 (Rabe) • **15-17** καὶ οἱ – φοροῦντες Doxop. *In Aphth.* Rhet. Gr. II 556, 9 (Sp.) • **15** – p. 31, **2** καὶ οἱ – τριχῶν Syrian. *Ad Hermog.* I 47, 5 (Rabe), Ioann. Sic. *Ad Hermog.* Rhet. Gr. VI 241, 21 (Walz), Max. Plan. *Ad Hermog.* ibid. V 493, 2, schol. Aristoph. *Nub.* 984 (Dübner).

---

**9** πᾶσα codd., Alex., Tib., Zonae.: ἅπασα Exc. Long. | ἐσιδηροφόρει codd., Alex., Tib., Zonae., Greg. Cor.: ἐσιδηροφόρουν Exc. Long., sed cf. Ros p. 213 sq. • **10** παρ᾽ A B C[4] E F G: πρὸς M • **15** τρυφερώτερον A B E F G M: τρυφερώτατον C[4] • **16** διὰ τὸ ἁβροδίαιτον (ἀβρ– B E G A[1]) codd.: om. Syrian., Ioann. Sic., Doxop., Max. Plan., schol. Aristoph., del. Herwerden.

ροῦντες καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι
τῶν ἐν τῇ κεφαλῇ τριχῶν· ἀφ' οὗ καὶ Ἰώνων τοὺς πρεσβυ-
τέρους κατὰ τὸ ξυγγενὲς ἐπὶ πολὺ αὕτη ἡ σκευὴ κατέσχεν.
μετρίᾳ δ' αὖ ἐσθῆτι καὶ ἐς τὸν νῦν τρόπον πρῶτοι Λακεδαι- 4
μόνιοι ἐχρήσαντο καὶ ἐς τὰ ἄλλα πρὸς τοὺς πολλοὺς οἱ τὰ
μείζω κεκτημένοι ἰσοδίαιτοι μάλιστα κατέστησαν. ἐγυμνώ- 5
θησάν τε πρῶτοι καὶ ἐς τὸ φανερὸν ἀποδύντες λίπα μετὰ τοῦ
γυμνάζεσθαι ἠλείψαντο· τὸ δὲ πάλαι καὶ ἐν τῷ Ὀλυμπικῷ
ἀγῶνι διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ ἠγωνί-
ζοντο, καὶ οὐ πολλὰ ἔτη ἐπειδὴ πέπαυται. ἔτι δὲ καὶ ἐν τοῖς
βαρβάροις ἔστιν οἷς νῦν, καὶ μάλιστα τοῖς Ἀσιανοῖς, πυγμῆς
καὶ πάλης ἆθλα τίθεται, καὶ διεζωμένοι τοῦτο δρῶσιν. πολλὰ 6
δ' ἂν καὶ ἄλλα τις ἀποδείξειε τὸ παλαιὸν Ἑλληνικὸν ὁμοιό-
τροπα τῷ νῦν βαρβαρικῷ διαιτώμενον.
Τῶν δὲ πόλεων ὅσαι μὲν νεώτατα ᾠκίσθησαν καὶ ἤδη 7
πλωιμωτέρων ὄντων περιουσίας μᾶλλον ἔχουσαι χρημάτων,

**1** καὶ χρυσῶν στεφάνων ἀνέρσει Ael. Dion. α 130 (Erbse) • **1-2** καὶ – τριχῶν id. τ 10 • **1** ἐνέρσει – ἀναδούμενοι Suid. ε 1257 (Adler) | κρωβύλον ... ἀνεδοῦντο χρυσῶν ἐνέρσει τεττίγων Clem. Alex. *Paed.* I 7, 54, 3 (Stählin) | κρώβυλος Harp. s. v. (Dind.); κρωβύλος Bachm. an. I 283, 31, Suid. κ 2488 (Adler), schol. Aeschin. I 64 (Schultz) | κρωβύλους ἀναδούμενοι Ael. Dion. κ 40 (Erbse) • **1-2** κρωβύλον – τριχῶν Syrian. *Ad Hermog.* II 16, 19 (Rabe) • **6-8** ἐγυμνώθησάν – ἠλείψαντο Dion. Hal. *Thuc. iud.* 856 (Pavano) • **7-8** καὶ – ἠλείψαντο Lex. Vind. 117, 15 (Nauck) • **7** ἀποδῦναι Poll. III 153 (Bethe) • **8** γυμνάσασθαι ibid. • **9** διαζώματ' – ἠγωνίζοντο Thom. Mag. 165, 15 (Ritschl) • **12** διεζωμένοι Ael. Dion. σ 12 (Erbse) • **15** ὅσαι – ᾠκίσθησαν Lex. Vind. 128, 17 (Nauck).

---

**1** ἐνέρσει A B F, schol. Θ et P, Ael. Dion. τ 10, Clem. Alex., Suid.: ἐνὲρσει (!) M: ἐν ἕρσει C⁴ Ud: ἐν ἕρσει E G: ἀνέρσει Ael. Dion. α 130 | κρωβύλον E M, schol. Θ, Ael. Dion. τ 10, Clem. Alex., Syrian., Suid.: κρωβύλων A F G, schol. P: κροβύλων C⁴: κρωβύλην B: κρωβύλους Ael. Dion. κ 40 • **3** ἡ om. M | σκευὴ C⁴ E G Fˣ: κατασκευὴ A B F: om. M • **8** Ὀλυμπικῷ E², recc.: Ὀλυμπιακῷ vett. • **10** πέπαυται vett.: πέπαυνται Ms (coniecerat Reiske, *Anim.* p. 5) • **12** τίθεται A B C⁴ E F G: τίθενται M | διεζωμένοι Ael. Dion.: διεζωσμένοι codd. • **15** νεώτατα A B E F G M, Lex. Vind.: νεώτατοι C⁴.

ἐπ' αὐτοῖς τοῖς αἰγιαλοῖς τείχεσιν ἐκτίζοντο καὶ τοὺς ἰσθμοὺς
ἀπελάμβανον ἐμπορίας τε ἕνεκα καὶ τῆς πρὸς τοὺς προσοί-
κους ἕκαστοι ἰσχύος · αἱ δὲ παλαιαὶ διὰ τὴν λῃστείαν ἐπὶ πολὺ
ἀντίσχουσαν ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν, αἵ τε ἐν
ταῖς νήσοις καὶ ἐν ταῖς ἠπείροις (ἔφερον γὰρ ἀλλήλους τε καὶ
τῶν ἄλλων ὅσοι ὄντες οὐ θαλάσσιοι κάτω ᾤκουν), καὶ μέχρι
**8** τοῦδε ἔτι ἀνῳκισμένοι εἰσίν. καὶ οὐχ ἧσσον λῃσταὶ ἦσαν οἱ
νησιῶται, Κᾶρές τε ὄντες καὶ Φοίνικες · οὗτοι γὰρ δὴ τὰς
πλείστας τῶν νήσων ᾤκησαν. μαρτύριον δέ · Δήλου γὰρ
καθαιρομένης ὑπὸ Ἀθηναίων ἐν τῷδε τῷ πολέμῳ καὶ τῶν
θηκῶν ἀναιρεθεισῶν ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν τῇ νήσῳ,
ὑπὲρ ἥμισυ Κᾶρες ἐφάνησαν, γνωσθέντες τῇ τε σκευῇ τῶν
ὅπλων ξυντεθαμμένῃ καὶ τῷ τρόπῳ ᾧ νῦν ἔτι θάπτουσιν.
2 καταστάντος δὲ τοῦ Μίνω ναυτικοῦ πλωιμώτερα ἐγένετο
παρ' ἀλλήλους (οἱ γὰρ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν
3 ὑπ' αὐτοῦ, ὅτεπερ καὶ τὰς πολλὰς αὐτῶν κατῴκιζε), καὶ
οἱ παρὰ θάλασσαν ἄνθρωποι μᾶλλον ἤδη τὴν κτῆσιν τῶν
χρημάτων ποιούμενοι βεβαιότερον ᾤκουν, καί τινες καὶ τείχη

**5** ἔφερον ἀλλήλους οὐχ ἧττον Suid. φ 222 (Adler) • **7-8** καὶ – νησιῶται Priscian. XVIII 257 (Hertz) • **7-13** λῃσταὶ – θάπτουσι Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1145, 7 (Walz) • **9-10** μαρτύριον – Ἀθηναίων Dion. Hal. *Ars rhet.* 412 (Us.–Rad.), Hermog. *Meth.* 417, 10 (Rabe) • **12** ὑπὲρ – ἐφάνησαν Quintil. *Inst.* IX 4, 78 (Winterb.).

---

**1** τείχεσιν ἐκτίζοντο καὶ codd.: ἐκτίζοντο καὶ τείχεσι Herwerden: τείχεσιν del. Stein, *Hermes*, 33, 1898, 356 sq., at cf. Steup • **1-2** καὶ τοὺς – ἕνεκα καὶ om. M (in marg. add. $M^{4}$) • **4** ἀντίσχουσαν Poppo: ἀντισχοῦσαν E G: ἀντισχοῦσαι A B $C^{4}$ F M • **5** ante ἐν add. αἱ $H^{2}$ • **7** ἔτι om. F | ἀνῳκισμένοι vett.: ἄνω ᾠκισμένοι supra lin. Vd: ἄνῳ ᾠκισμέναι Reiske, *Anim.* p. 5: ἀνῳκισμέναι Nf (coniecerat Classen) • **9** ᾤκησαν A $C^{4}$ E F G M, Greg. Cor.: ᾤκισαν B • **10** καθαιρομένης A B E F ⟨G⟩ M, Dion. Hal., Hermog., Greg. Cor.: καθαιρουμένης $C^{4}$ • **11** ἀναιρεθεισῶν A B $C^{4}$ E F ⟨G⟩, Greg. Cor.: ἀφαιρεθεισῶν M • **13** ξυντεθαμμένῃ A B E F G M: ξυντεθαμμένοι $C^{4}$: ξυντεθαμμένων Greg. Cor. (cod. M).

περιεβάλλοντο ὡς πλουσιώτεροι ἑαυτῶν γιγνόμενοι· ἐφιέ-
μενοι γὰρ τῶν κερδῶν οἵ τε ἥσσους ὑπέμενον τὴν τῶν κρεισ-
σόνων δουλείαν, οἵ τε δυνατώτεροι περιουσίας ἔχοντες προσ-
εποιοῦντο ὑπηκόους τὰς ἐλάσσους πόλεις. καὶ ἐν τούτῳ τῷ 4
τρόπῳ μᾶλλον ἤδη ὄντες ὕστερον χρόνῳ ἐπὶ Τροίαν ἐστρά-
τευσαν.

Ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προύχων καὶ οὐ 9
τοσοῦτον τοῖς Τυνδάρεω ὅρκοις κατειλημμένους τοὺς Ἑλένης
μνηστῆρας ἄγων τὸν στόλον ἀγεῖραι. λέγουσι δὲ καὶ οἱ τὰ 2
σαφέστατα Πελοποννησίων μνήμῃ παρὰ τῶν πρότερον δε-
δεγμένοι Πέλοπά τε πρῶτον πλήθει χρημάτων, ἃ ἦλθεν ἐκ
τῆς Ἀσίας ἔχων ἐς ἀνθρώπους ἀπόρους, δύναμιν περιποιη-
σάμενον τὴν ἐπωνυμίαν τῆς χώρας ἐπηλύτην ὄντα ὅμως
σχεῖν, καὶ ὕστερον τοῖς ἐκγόνοις ἔτι μείζω ξυνενεχθῆναι, Εὐ-
ρυσθέως μὲν ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος,
Ἀτρέως δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ, καὶ ἐπιτρέψαντος
Εὐρυσθέως, ὅτ' ἐστράτευε, Μυκήνας τε καὶ τὴν ἀρχὴν κατὰ
τὸ οἰκεῖον Ἀτρεῖ (τυγχάνειν δὲ αὐτὸν φεύγοντα τὸν πατέρα
διὰ τὸν Χρυσίππου θάνατον), καὶ ὡς οὐκέτι ἀνεχώρησεν

7 Ἀγαμέμνων – προύχων Hermog. *Id.* 250, 22 (Rabe), Anon. *De fig.* Rhet. Gr. III 122, 25 (Sp.) • **9-10** λέγουσι – δεδεγμένοι Hermog. *Meth.* 445, 11 (Rabe) • **9-14** λέγουσι – σχεῖν Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1314, 8 (Walz) • **11-14** Πέλοπά τε – σχεῖν Lex. Vind. 88, 3 (Nauck) • **17** – p. 34, **4** Εὐρυσθέως – παραλαβεῖν Dion. Hal. *De Thuc. propr.* 806 (Us.-Rad.).

---

**1** περιεβάλλοντο A B E F G M: περιεβάλοντο C[4] | ὡς πλουσιώτεροι ἑαυτῶν γιγνόμενοι om. G M (in marg. add. G[1] M[1]) • **2** τὴν τῶν A B E F G: τὴν M: τῶν C[4] • **7** δυνάμει om. M • **10** πρότερον codd.: προτέρων Hermog., Greg. Cor. • **13** ἐπηλύτην codd., schol. Θ et P, Lex. Vind., Greg. Cor.: ἔπηλυν Stahl, *Qu. Gr.* p. 56, sed cf. Thompson, *Hermathena,* 56, 1940, 138 sq. | ὅμως A C[4] E F G M: ὁμοίως B • **14** ἐκγόνοις C[4] G M F[Ψ]: ἐκγόνοις οἷον Ἀτρεῖ Ἀγαμέμνονι A B E F (ex schol.) | μείζω A B E G M: om. C[4] F • **18** τὸν πατέρα A B C[4] F G M, Dion. Hal.: τὸν Πέλοπα τὸν πατέρα E (ex schol.).

Εὐρυσθεύς, βουλομένων καὶ τῶν Μυκηναίων φόβῳ τῶν Ἡρα-
κλειδῶν καὶ ἅμα δυνατὸν δοκοῦντα εἶναι καὶ τὸ πλῆθος τεθε-
ραπευκότα τῶν Μυκηναίων τε καὶ ὅσων Εὐρυσθεὺς ἦρχε
τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν, καὶ τῶν Περσειδῶν τοὺς
3 Πελοπίδας μείζους καταστῆναι. ἅ μοι δοκεῖ Ἀγαμέμνων
παραλαβὼν καὶ ναυτικῷ {τε} ἅμα ἐπὶ πλέον τῶν ἄλλων ἰσχύ-
σας, τὴν στρατείαν οὐ χάριτι τὸ πλέον ἢ φόβῳ ξυναγαγὼν
ποιήσασθαι. φαίνεται γὰρ ναυσί τε πλείσταις αὐτὸς ἀφι-
κόμενος καὶ Ἀρκάσι προσπαρασχών, ὡς Ὅμηρος τοῦτο
4 δεδήλωκεν, εἴ τῳ ἱκανὸς τεκμηριῶσαι. καὶ ἐν τοῦ σκήπτρου
ἅμα τῇ παραδόσει εἴρηκεν αὐτὸν « πολλῇσι νήσοισι καὶ Ἄργεϊ
παντὶ ἀνάσσειν » · οὐκ ἂν οὖν νήσων ἔξω τῶν περιοικίδων
(αὗται δὲ οὐκ ἂν πολλαὶ εἶεν) ἠπειρώτης ὢν ἐκράτει, εἰ μή τι
5 καὶ ναυτικὸν εἶχεν. εἰκάζειν δὲ χρὴ καὶ ταύτῃ τῇ στρατείᾳ
οἷα ἦν τὰ πρὸ αὐτῆς.

**10** Καὶ ὅτι μὲν Μυκῆναι μικρὸν ἦν, ἢ εἴ τι τῶν τότε πόλισμα
νῦν μὴ ἀξιόχρεων δοκεῖ εἶναι, οὐκ ἀκριβεῖ ἄν τις σημείῳ χρώ-
μενος ἀπιστοίη μὴ γενέσθαι τὸν στόλον τοσοῦτον ὅσον οἵ τε
2 ποιηταὶ εἰρήκασι καὶ ὁ λόγος κατέχει. Λακεδαιμονίων γὰρ
εἰ ἡ πόλις ἐρημωθείη, λειφθείη δὲ τά τε ἱερὰ καὶ τῆς κατα-
σκευῆς τὰ ἐδάφη, πολλὴν ἂν οἶμαι ἀπιστίαν τῆς δυνάμεως προ-
ελθόντος πολλοῦ χρόνου τοῖς ἔπειτα πρὸς τὸ κλέος αὐτῶν
εἶναι (καίτοι Πελοποννήσου τῶν πέντε τὰς δύο μοίρας νέ-
μονται, τῆς τε ξυμπάσης ἡγοῦνται καὶ τῶν ἔξω ξυμμάχων
πολλῶν · ὅμως δέ, οὔτε ξυνοικισθείσης ⟨τῆς⟩ πόλεως οὔτε

**6** τε om. Pg (deleverat Krüger): δὲ Reiske, *Anim.* p. 6, alii alia (cf. Denniston p. 535 sq. et p. IV (Dover)) • **7** στρατείαν Pb (coniecerat Portus): στρατιὰν vett. • **11** αὐτὸν om. M • **14** στρατείᾳ Portus: στρατιᾷ codd. • **19** ante γὰρ add. μὲν Hude • **20** λειφθείη C⁴ E F ⟨G⟩: ληφθείη A B M • **23** μοίρας A B C⁴ E F M: δυνάμεις ante corr. G • **25** ὅμως codd.: ὁμοίως in marg. G¹ | τῆς add. Pd (addiderat Stephanus).

ἱεροῖς καὶ κατασκευαῖς πολυτελέσι χρησαμένης, κατὰ κώμας
δὲ τῷ παλαιῷ τῆς Ἑλλάδος τρόπῳ οἰκισθείσης, φαίνοιτ᾽ ἂν
ὑποδεεστέρα), Ἀθηναίων δὲ τὸ αὐτὸ τοῦτο παθόντων διπλα-
σίαν ἂν τὴν δύναμιν εἰκάζεσθαι ἀπὸ τῆς φανερᾶς ὄψεως τῆς
πόλεως ἢ ἔστιν. οὔκουν ἀπιστεῖν εἰκός, οὐδὲ τὰς ὄψεις τῶν 3
πόλεων μᾶλλον σκοπεῖν ἢ τὰς δυνάμεις, νομίζειν δὲ τὴν
στρατείαν ἐκείνην μεγίστην μὲν γενέσθαι τῶν πρὸ αὑτῆς,
λειπομένην δὲ τῶν νῦν, τῇ Ὁμήρου αὖ ποιήσει εἴ τι χρὴ
κἀνταῦθα πιστεύειν, ἣν εἰκὸς ἐπὶ τὸ μεῖζον μὲν ποιητὴν ὄντα
κοσμῆσαι, ὅμως δὲ φαίνεται καὶ οὕτως ἐνδεεστέρα. πεποίηκε 4
γὰρ χιλίων καὶ διακοσίων νεῶν τὰς μὲν Βοιωτῶν εἴκοσι καὶ
ἑκατὸν ἀνδρῶν, τὰς δὲ Φιλοκτήτου πεντήκοντα, δηλῶν, ὡς
ἐμοὶ δοκεῖ, τὰς μεγίστας καὶ ἐλαχίστας· ἄλλων γοῦν μεγέ-
θους πέρι ἐν νεῶν καταλόγῳ οὐκ ἐμνήσθη. αὐτερέται δὲ ὅτι
ἦσαν καὶ μάχιμοι πάντες, ἐν ταῖς Φιλοκτήτου ναυσὶ δεδήλω-
κεν· τοξότας γὰρ πάντας πεποίηκε τοὺς προσκώπους. πε-
ρίνεως δὲ οὐκ εἰκὸς πολλοὺς ξυμπλεῖν ἔξω τῶν βασιλέων καὶ
τῶν μάλιστα ἐν τέλει, ἄλλως τε καὶ μέλλοντας πέλαγος πε-
ραιώσεσθαι μετὰ σκευῶν πολεμικῶν, οὐδ᾽ αὖ τὰ πλοῖα κατά-
φαρκτα ἔχοντας, ἀλλὰ τῷ παλαιῷ τρόπῳ λῃστικώτερον
παρεσκευασμένα. πρὸς τὰς μεγίστας δ᾽ οὖν καὶ ἐλαχίστας 5

**1-2** κατὰ – οἰκηθεῖσα Ael. Dion. κ 45 (Erbse) • **5** οὔκουν ἀπιστεῖν Ammon. 360 (Nickau) | οὔκουν ἀπιστεῖν εἰκός Bekk. an. I 57, 16 • **6-18** νομίζω – τέλει Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1232, 11 (Walz) • **14** αὐτερέται Ael. Dion. α 195 (Erbse), Hesych. α 8380 (Latte) • **16** περίνεως Ael. Dion. π 36 et 72 (Erbse) • **17-18** ἔξω – τέλει Thom. Mag. 111, 12 (Ritschl).

**1** κατασκευαῖς πολυτελέσι A B $C^4$ E F G: κατασκευέσι M • **2** οἰκισθείσης codd.: οἰκηθείσης Ael. Dion. • **7** στρατείαν $C^4$ $F^3$ $G^x$: στρατιὰν A B E F G M, Greg. Cor. | αὑτῆς Bekker (cf. Powell, *CQ*, 28, 1934, 170): αὐτῆς codd., Greg. Cor. • **12-15** Φιλοκτήτου – ταῖς om. M (in marg. add. $M^4$) • **18** καὶ om. M (add. $M^4$) | περαιώσεσθαι A B $C^4$ E F: περαιώσασθαι G M • **21** δ᾽ οὖν Bekker: γοῦν A B $C^4$ E F G: οὖν M.

ναῦς τὸ μέσον σκοποῦντι οὐ πολλοὶ φαίνονται ἐλθόντες, ὡς ἀπὸ πάσης τῆς Ἑλλάδος κοινῇ πεμπόμενοι.

**11** Αἴτιον δ' ἦν οὐχ ἡ ὀλιγανθρωπία τοσοῦτον ὅσον ἡ ἀχρηματία. τῆς γὰρ τροφῆς ἀπορίᾳ τόν τε στρατὸν ἐλάσσω ἤγαγον καὶ ὅσον ἤλπιζον αὐτόθεν πολεμοῦντα βιοτεύσειν, ἐπειδή τε ἀφικόμενοι μάχῃ ἐκράτησαν (δῆλον δέ· τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο), φαίνονται δ' οὐδ' ἐνταῦθα πάσῃ τῇ δυνάμει χρησάμενοι, ἀλλὰ πρὸς γεωργίαν τῆς Χερσονήσου τραπόμενοι καὶ λῃστείαν τῆς τροφῆς ἀπορίᾳ. ᾗ καὶ μᾶλλον οἱ Τρῶες αὐτῶν διεσπαρμένων τὰ δέκα ἔτη ἀντεῖχον βίᾳ, τοῖς αἰεὶ ὑπολειπομένοις ἀντίπαλοι
2 ὄντες. περιουσίαν δὲ εἰ ἦλθον ἔχοντες τροφῆς καὶ ὄντες ἀθρόοι ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον, ῥᾳδίως ἂν μάχῃ κρατοῦντες {εἷλον}, οἵ γε καὶ οὐχ ἀθρόοι, ἀλλὰ μέρει τῷ αἰεὶ παρόντι ἀντεῖχον, πολιορκίᾳ δ' ἂν προσκαθεζόμενοι ἐν ἐλάσσονί τε χρόνῳ καὶ
3 ἀπονώτερον τὴν Τροίαν εἷλον. ἀλλὰ δι' ἀχρηματίαν τά τε πρὸ τούτων ἀσθενῆ ἦν καὶ αὐτά γε δὴ ταῦτα, ὀνομαστότατα τῶν πρὶν γενόμενα, δηλοῦται τοῖς ἔργοις ὑποδεέστερα ὄντα τῆς φήμης καὶ τοῦ νῦν περὶ αὐτῶν διὰ τοὺς ποιητὰς λόγου
**12** κατεσχηκότος· ἐπεὶ καὶ μετὰ τὰ Τρωικὰ ἡ Ἑλλὰς ἔτι μετα-

**3-5** αἴτιον – ἤγαγον Hermog. *Meth.* 428, 20 (Rabe) • **12-14** περιουσίαν – διέφερον Lex. Vind. 1, 8 et 41, 13 (Nauck) • **13-14** οἱ δὲ Ἀθηναῖοι τὸν πόλεμον διέφερον Suid. δ 980 (Adler), Zonar. s. v. διέφερον (Tittm.) | διέφερον τὸν πόλεμον schol. Aristid. 8, 4 (Dind.).

---

**1** ἐλθόντες A B $C^4$ E F M: ξυνελθόντες G • **6** ἐπειδή τε Ud $Pl^1$ (coniecerat Bekker): ἐπειδὴ δὲ vett. | ἐκράτησαν codd.: ἐκρατήθησαν Thiersch ap. Cobet, *Mnemosyne,* N.S. 8, 1880, 69 sq., at cf. Gomme • **14** εἷλον del. Krüger, qui falso δ' quoque (16) del. • **15** μέρει A B E F G M: μέρηι $C^4$ | τῷ codd.: τω γρ. schol. Θ • **17** ἀ]πο[ν]ώτερον inc. $\Pi^{19}$ | τὴν om. $\Pi^{19}$ • **18** πρὸ $C^4$ G M $F^{\Phi}$: πρὸς A B E F [$\Pi^{19}$] | ab syll. -νῆ ἦν inc. $F^r$ | γε A B E M $\Pi^{19}$: om. $C^4$ $F^r$ G • **21** τὰ A B $C^4$ E $F^r$ G, in lac. $\Pi^{19}$, spat. rat. hab.: om. M | ante ἡ del. ἤδη $\Pi^{19}$.

νίστατό τε καὶ κατῳκίζετο, ὥστε μὴ ἡσυχάσασαν αὐξηθῆ-
ναι. ἥ τε γὰρ ἀναχώρησις τῶν Ἑλλήνων ἐξ Ἰλίου χρονία 2
γενομένη πολλὰ ἐνεόχμωσε, καὶ στάσεις ἐν ταῖς πόλεσιν ὡς
ἐπὶ τὸ πολὺ ἐγίγνοντο, ἀφ᾽ ὧν ἐκπίπτοντες τὰς πόλεις ἔκτι-
ζον. Βοιωτοί τε γὰρ οἱ νῦν ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν 3
ἐξ Ἄρνης ἀναστάντες ὑπὸ Θεσσαλῶν τὴν νῦν μὲν Βοιωτίαν,
πρότερον δὲ Καδμηίδα γῆν καλουμένην ᾤκησαν (ἦν δὲ αὐτῶν
καὶ ἀποδασμὸς πρότερον ἐν τῇ γῇ ταύτῃ, ἀφ᾽ ὧν καὶ ἐς Ἴλι-
ον ἐστράτευσαν), Δωριῆς τε ὀγδοηκοστῷ ἔτει ξὺν Ἡρα-
κλείδαις Πελοπόννησον ἔσχον. μόλις τε ἐν πολλῷ χρόνῳ 4
ἡσυχάσασα ἡ Ἑλλὰς βεβαίως καὶ οὐκέτι ἀνισταμένη ἀποι-
κίας ἐξέπεμψε, καὶ Ἴωνας μὲν Ἀθηναῖοι καὶ νησιωτῶν τοὺς
πολλοὺς ᾤκισαν, Ἰταλίας δὲ καὶ Σικελίας τὸ πλεῖστον Πελο-
ποννήσιοι τῆς τε ἄλλης Ἑλλάδος ἔστιν ἃ χωρία. πάντα δὲ
ταῦτα ὕστερον τῶν Τρωικῶν ἐκτίσθη.

Δυνατωτέρας δὲ γιγνομένης τῆς Ἑλλάδος καὶ τῶν χρη- **13**
μάτων τὴν κτῆσιν ἔτι μᾶλλον ἢ πρότερον ποιουμένης τὰ
πολλὰ τυραννίδες ἐν ταῖς πόλεσι καθίσταντο, τῶν προσόδων
μειζόνων γιγνομένων (πρότερον δὲ ἦσαν ἐπὶ ῥητοῖς γέρασι

**2-3** ἥ τε – ἐνεόχμωσεν Liban. *Or.* LV 19 (Förster) • **3** νεοχμῶ Bachm. an. II 341, 25, schol. Lucian. 190, 16 (Rabe) • **7** Καδμηΐς Steph. Byz. s. v. Βοιωτία (Mein.) • **9-10** Δωριεῖς – ἔσχον schol. Aristid. 72, 26 et 653, 5 (Dind.).

---

**1** ἡσυχάσασαν A B E M $\Pi^{19}$: ἡσυχάσασα $C^4$ $F^r$ ⟨G⟩ • **3** ἐνεόχμωσε B $C^4$ $F^r$, schol. P, Liban.: ἐνεώχμωσε A E ⟨G⟩ M $\Pi^{19}$ • **4** τὸ $C^4$ $F^r$ $\Pi^{19}$: om. A B E ⟨G⟩ M | τὰς vix sanum: καινὰς Herwerden, *St. Thuc.* p. 5: νέας Madvig, *Adv.* p. 307 • **6** μὲν A B E G M: om. $C^4$ $F^r$ [$\Pi^{19}$] • **7** Καδμηίδα A B E ⟨G⟩ M: Καδμηϊάδα $C^4$ $F^r$ [$\Pi^{19}$] | γῆν A B $C^4$ $F^r$ ⟨G⟩ M: γῆν τὴν Χαιρώνειαν E (ex schol.) [$\Pi^{19}$] • **8** πρότερον ἐν τῇ γῇ ταύτῃ A B E G M: ἐν τῇ γῇ ταύτῃ πρότερον $C^4$ $F^r$ [$\Pi^{19}$] • **9** τε codd.: δὲ schol. Aristid. [$\Pi^{19}$] • **10** μόλις A B E M: μόγις $C^4$ $F^r$ $G^1$ [$\Pi^{19}$] • **12** ἐξέπεμψε A B E M: ἐξέπεμπε $C^4$ $F^r$ $G^1$ [$\Pi^{19}$] • **13** ᾤκισαν A $C^4$ $F^r$ G M: ᾤκησαν B E [$\Pi^{19}$] | πλεῖστον A B E G M: πλέον $C^4$ $F^r$ [$\Pi^{19}$] • **16** γιγνομένης A B E: γινομένης $C^4$ $F^r$: γενομένης G M [$\Pi^{19}$] • **18** post προσόδων add. τισὶ τῶν εὐδαιμόνων Steup, coll. c. 2, 4 et c. 6, 3.

πατρικαὶ βασιλεῖαι), ναυτικά τε ἐξηρτύετο ἡ Ἑλλάς, καὶ
2 τῆς θαλάσσης μᾶλλον ἀντείχοντο. πρῶτοι δὲ Κορίνθιοι
λέγονται ἐγγύτατα τοῦ νῦν τρόπου μεταχειρίσαι τὰ περὶ
τὰς ναῦς, καὶ τριήρεις πρῶτον ἐν Κορίνθῳ τῆς Ἑλλάδος
3 ναυπηγηθῆναι. φαίνεται δὲ καὶ Σαμίοις Ἀμεινοκλῆς Κορίν-
θιος ναυπηγὸς ναῦς ποιήσας τέσσαρας· ἔτη δ' ἐστὶ μάλιστα
τριακόσια ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ὅτε Ἀμεινοκλῆς
4 Σαμίοις ἦλθεν. ναυμαχία τε παλαιτάτη ὧν ἴσμεν γίγνεται
Κορινθίων πρὸς Κερκυραίους· ἔτη δὲ μάλιστα ἑξήκοντα καὶ
5 διακόσιά ἐστι μέχρι τοῦ αὐτοῦ χρόνου. οἰκοῦντες γὰρ τὴν
πόλιν οἱ Κορίνθιοι ἐπὶ τοῦ Ἰσθμοῦ αἰεὶ δή ποτε ἐμπόριον
εἶχον, τῶν Ἑλλήνων τὸ πάλαι κατὰ γῆν τὰ πλείω ἢ κατὰ
θάλασσαν, τῶν τε ἐντὸς Πελοποννήσου καὶ τῶν ἔξω, διὰ τῆς
ἐκείνων παρ' ἀλλήλους ἐπιμισγόντων, χρήμασί τε δυνατοὶ
ἦσαν, ὡς καὶ τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται· ἀφνειὸν
γὰρ ἐπωνόμασαν τὸ χωρίον. ἐπειδή τε οἱ Ἕλληνες μᾶλλον
ἔπλῳζον, τὰς ναῦς κτησάμενοι τὸ ληστικὸν καθῄρουν, καὶ
ἐμπόριον παρέχοντες ἀμφότερα δυνατὴν ἔσχον χρημάτων
6 προσόδῳ τὴν πόλιν. καὶ Ἴωσιν ὕστερον πολὺ γίγνεται ναυ-
τικὸν ἐπὶ Κύρου Περσῶν πρώτου βασιλεύοντος καὶ Καμβύσου

7 ἐς – πολέμου Anon. *Vita* 8 • 18 ἐμπόριον τῆς Ἑλλάδος schol. A Hom. B 570 (Erbse) | ἀμφότερα Ael. Dion. α 114 (Erbse).

---

4 τὰς om. $\Pi^{19}$ (in marg. add. m. alt.) | πρῶτον ἐν Κορίνθῳ B $C^4$ E $F^r$ $\Pi^{19}$: ἐν Κορίνθῳ πρῶτον A G M • 5 ναυπηγηθῆναι A B E G M $\Pi^{19}$: ἐνναυπηγηθῆναι $C^4$ $F^r$ $G^1$ • 6 ποιήσας codd., supra lin. $\Pi^{19}$: ποιῆσαι $\Pi^{19}$ | ἔτη δ' codd., $\Pi^{19}$: καὶ ταῦτα ἔ[τη] in marg. $\Pi^{19}$ • 8 παλαιτάτη codd.: παλα[ι]οτάτη v. l. $\Pi^{19}$ | ὧν ἴσμεν codd.: ὧν · · ῃ ἴσμεν $\Pi^{19}$ (ἤδη dub. suppl. Grenf.–Hunt) • 8-9 γίγνεται Κορινθίων codd.: Κορινθίω[ν γ]ίν[ε]τ[αι $\Pi^{19}$ • 9 δὲ A B E G M $\Pi^{19}$: om. $C^4$ $F^r$ | μάλιστα A B E G M $\Pi^{19}$: μάλιστα καὶ ταύτῃ $C^4$ $F^r$ $G^1$: μάλιστα καὶ ταῦτα Cn Sc Wb • 9-10 ἑξήκοντα καὶ διακόσιά codd.: δ[ιακό]σι[α ἑ]ξή[κ]οντά $\Pi^{19}$ • 17 ληστικὸν A B E G M: ληστρικὸν $C^4$ $F^r$ $G^1$ [$\Pi^{19}$] • 18 ἀμφότερα A B E M, ante corr. G (ut vid.), Ael. Dion.: ἀμφότεροι $C^4$ $F^r$ $G^1$ [$\Pi^{19}$] • 19 προσόδῳ τὴν πόλιν A $C^4$ E $F^r$ G M: τὴν πόλιν προσόδῳ B [$\Pi^{19}$].

τοῦ υἱέος αὐτοῦ, τῆς τε καθ' ἑαυτοὺς θαλάσσης Κύρῳ πολε-
μοῦντες ἐκράτησάν τινα χρόνον. καὶ Πολυκράτης Σάμου
τυραννῶν ἐπὶ Καμβύσου ναυτικῷ ἰσχύων ἄλλας τε τῶν νήσων
ὑπηκόους ἐποιήσατο καὶ Ῥήνειαν ἑλὼν ἀνέθηκε τῷ Ἀπόλ-
λωνι τῷ Δηλίῳ. Φωκαῆς τε Μασσαλίαν οἰκίζοντες Καρχη-
δονίους ἐνίκων ναυμαχοῦντες· δυνατώτατα γὰρ ταῦτα τῶν 14
ναυτικῶν ἦν. φαίνεται δὲ καὶ ταῦτα, πολλαῖς γενεαῖς ὕστερα
γενόμενα τῶν Τρωικῶν, τριήρεσι μὲν ὀλίγαις χρώμενα, πεντη-
κοντόροις δ' ἔτι καὶ πλοίοις μακροῖς ἐξηρτυμένα ὥσπερ ἐκεῖ-
να. ὀλίγον τε πρὸ τῶν Μηδικῶν καὶ τοῦ Δαρείου θανάτου, 2
ὃς μετὰ Καμβύσην Περσῶν ἐβασίλευσε, τριήρεις περί τε Σι-
κελίαν τοῖς τυράννοις ἐς πλῆθος ἐγένοντο καὶ Κερκυραίοις·
ταῦτα γὰρ τελευταῖα πρὸ τῆς Ξέρξου στρατείας ναυτικὰ
ἀξιόλογα ἐν τῇ Ἑλλάδι κατέστη. Αἰγινῆται γὰρ καὶ Ἀθη- 3
ναῖοι, καὶ εἴ τινες ἄλλοι, βραχέα ἐκέκτηντο, καὶ τούτων τὰ
πολλὰ πεντηκοντόρους· ὀψέ τε ἀφ' οὗ Ἀθηναίους Θεμιστο-
κλῆς ἔπεισεν Αἰγινήταις πολεμοῦντας, καὶ ἅμα τοῦ βαρβάρου
προσδοκίμου ὄντος, τὰς ναῦς ποιήσασθαι αἷσπερ καὶ ἐναυ-
μάχησαν· καὶ αὗται οὔπω εἶχον διὰ πάσης καταστρώματα.

**3** Καμβύσου τοῦ υἱέος αὐτοῦ Thom. Mag. 367, 8 (Ritschl) • **5** Φωκεῖς – οἰκίζοντες schol. Aristid. 92, 15 (Dind.) • **19** καὶ οὔπω – καταστρώματα Longin. *Ars rhet.* 564 (Prickard).

**2** Σάμου om. B [Π$^{19}$] • **4** ἑλὼν A B E G M, in lac. Π$^{19}$, spat. rat. hab.: ἀνελὼν C$^4$ F$^r$ • **5** Μασσαλίαν E$^1$, schol. Aristid.: Μεσσαλίαν codd. [Π$^{19}$]: Ἀλαλίαν Gomme • **8** γενόμενα A B C$^4$ E F$^r$ G: γιγνόμενα M [Π$^{19}$] | Τ[ροικῶν des. Π$^{19}$ | ὀλίγαις A B C$^4$ E F$^r$ M: ὀλίγα ⟨G⟩ | πεντηκοντόροις A E Ud Pl$^1$: πεντηκοντέροις B: πεντηκοντούροις C$^4$ F$^r$ ⟨G⟩: πεντηκόροις M • **13** στρατείας E$^1$: στρατίας E: στρατιᾶς A B C$^4$ F$^r$ ⟨G⟩ M • **15** εἴ τινες A B E ⟨G⟩ M: οἵτινες C$^4$ F$^r$ • **16** πεντηκοντόρους A B E Ud Pl$^1$: πεντηκοντούρους C$^4$ F$^r$ ⟨G⟩: πεντηκόρους M • **17** Αἰγινήταις C$^4$ F$^r$ M, ante corr. G (ut vid.): Αἰγινήτας A B E • **18** αἷσπερ A C$^4$ E F$^r$ G M: ὥσπερ B (corr. B$^2$) • **19** αὗται A B E G M: αὐταὶ C$^4$ F$^r$.

15 Τὰ μὲν οὖν ναυτικὰ τῶν Ἑλλήνων τοιαῦτα ἦν, τά τε πα-
λαιὰ καὶ τὰ ὕστερον γενόμενα. ἰσχὺν δὲ περιεποιήσαντο ὅμως
οὐκ ἐλαχίστην οἱ προσσχόντες αὐτοῖς χρημάτων τε προσόδῳ
καὶ ἄλλων ἀρχῇ· ἐπιπλέοντες γὰρ τὰς νήσους κατεστρέ-
2 φοντο, καὶ μάλιστα ὅσοι μὴ διαρκῆ εἶχον χώραν. κατὰ γῆν
δὲ πόλεμος, ὅθεν τις καὶ δύναμις περιεγένετο, οὐδεὶς ξυνέστη·
πάντες δὲ ἦσαν, ὅσοι καὶ ἐγένοντο, πρὸς ὁμόρους τοὺς σφε-
τέρους ἑκάστοις, καὶ ἐκδήμους στρατείας πολὺ ἀπὸ τῆς ἑαυ-
τῶν ἐπ' ἄλλων καταστροφῇ οὐκ ἐξῇσαν οἱ Ἕλληνες. οὐ
γὰρ ξυνειστήκεσαν πρὸς τὰς μεγίστας πόλεις ὑπήκοοι,
οὐδ' αὖ αὐτοὶ ἀπὸ τῆς ἴσης κοινὰς στρατείας ἐποιοῦντο,
κατ' ἀλλήλους δὲ μᾶλλον ὡς ἕκαστοι οἱ ἀστυγείτονες ἐπολέ-
3 μουν. μάλιστα δὲ ἐς τὸν πάλαι ποτὲ γενόμενον πόλεμον Χαλ-
κιδέων καὶ Ἐρετριῶν καὶ τὸ ἄλλο Ἑλληνικὸν ἐς ξυμμαχίαν
16 ἑκατέρων διέστη. ἐπεγένετο δὲ ἄλλοις τε ἄλλοθι κωλύματα
μὴ αὐξηθῆναι, καὶ Ἴωσι προχωρησάντων ἐπὶ μέγα τῶν
πραγμάτων Κῦρος καὶ ἡ Περσικὴ βασιλεία Κροῖσον καθε-
λοῦσα καὶ ὅσα ἐντὸς Ἅλυος ποταμοῦ πρὸς θάλασσαν ἐπε-
στράτευσε καὶ τὰς ἐν τῇ ἠπείρῳ πόλεις ἐδούλωσε, Δαρεῖός τε
ὕστερον τῷ Φοινίκων ναυτικῷ κρατῶν καὶ τὰς νήσους.

**5** διαρκῆ Hesych. δ 1270 (Latte) • **11** οὐδ' – ἐποιοῦντο Suid. α 3594 (Adler).

---

**2** γενόμενα $C^{4}$ $F^{r}$ (cf. c. 14, 1): γιγνόμενα A B E G M • **3** προσσχόντες A: προσχόντες B $C^{4}$ $F^{r}$ G M: προσέχοντες E • **4** κατεστρέφοντο inc. m. pr. in C • **6** περιεγένετο Tournier, *RPh*, N.S. 1, 1877, 271: παρεγένετο codd. • **7** δὲ A B C E G M: γὰρ $F^{r}$ | ἦσαν ὅσοι A B C E $F^{r}$: ὅσοι ἦσαν G M • **8** στρατείας C $F^{r}$ $G^{1}$: στρατιὰς A B E M | πολὺ om. $F^{r}$ • **11** αὖ C $F^{r}$: om. A B E G M, Suid. | στρατείας $F^{r}$ $C^{3}$: στρατιὰς A B C E G M, Suid. • **15** ἐπεγένετο A B E G M: ἐπεγίνετο C $F^{r}$: ἐπεγίγνετο $C^{3}$ $G^{1}$ • **16** μὴ C E $F^{r}$ G M: τοῦ A B | προχωρησάντων C E $F^{r}$ M: προσχωρησάντων A B G • **17** βασιλεία A B C E G M: ἐξουσία $F^{r}$ • **19** τε C E $F^{r}$ $G^{1}$: δὲ A B G M • **20** τῷ Φοινίκων A E $F^{r}$ G M $C^{3}$: τῶν Φοινίκων B: τῷ Φοινικῷ ante corr. C: τῷ Φοινικικῷ γρ. $C^{2}$.

τύραννοί τε ὅσοι ἦσαν ἐν ταῖς Ἑλληνικαῖς πόλεσι, τὸ ἐφ' ἑαυτῶν 17
μόνον προορώμενοι ἔς τε τὸ σῶμα καὶ ἐς τὸ τὸν ἴδιον οἶκον
αὔξειν δι' ἀσφαλείας ὅσον ἐδύναντο μάλιστα τὰς πόλεις
ᾤκουν, ἐπράχθη τε οὐδὲν ἀπ' αὐτῶν ἔργον ἀξιόλογον, εἰ
μὴ εἴ τι πρὸς περιοίκους τοὺς αὐτῶν ἑκάστοις (οἱ γὰρ ἐν Σι-
κελίᾳ ἐπὶ πλεῖστον ἐχώρησαν δυνάμεως). οὕτω πανταχόθεν
ἡ Ἑλλὰς ἐπὶ πολὺν χρόνον κατείχετο μήτε κοινῇ φανερὸν
μηδὲν κατεργάζεσθαι, κατὰ πόλεις τε ἀτολμοτέρα εἶναι.

Ἐπειδὴ δὲ οἵ τε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης 18
Ἑλλάδος ἐπὶ πολὺ καὶ πρὶν τυραννευθείσης οἱ πλεῖστοι καὶ
τελευταῖοι πλὴν τῶν ἐν Σικελίᾳ ὑπὸ Λακεδαιμονίων κατελύ-
θησαν (ἡ γὰρ Λακεδαίμων μετὰ τὴν κτίσιν τῶν νῦν ἐνοικούν-
των αὐτὴν Δωριῶν ἐπὶ πλεῖστον ὧν ἴσμεν χρόνον στα-
σιάσασα ὅμως ἐκ παλαιτάτου καὶ ηὐνομήθη καὶ αἰεὶ ἀτυράν-
νευτος ἦν· ἔτη γάρ ἐστι μάλιστα τετρακόσια καὶ ὀλίγῳ
πλείω ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ἃ Λακεδαιμόνιοι
τῇ αὐτῇ πολιτείᾳ χρῶνται. καὶ δι' αὐτὸ δυνάμενοι καὶ τὰ ἐν
ταῖς ἄλλαις πόλεσι καθίστασαν), μετὰ δὲ τὴν τῶν τυράννων

**1-8** τύραννοι – εἶναι Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1249, 23 (Walz) • **9-18** ἐπειδὴ – καθίστασαν Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1250, 1 (Walz) • **9** – p. 42, **1** ἐπειδὴ – κατάλυσιν Hermog. *Meth.* 430, 17 (Rabe) • **9-10** οἵ τε – τυραννευθείσης Lex. Vind. 176, 3 (Nauck) • **16** ἐς – πολέμου Anon. *Vita* 8 (cf. Testim. p. 38, 7).

---

**1** τε C $F^r$: δὲ A B E G M, Greg. Cor. | ὅσοι om. A • **4** τε A B E G M: δὲ C $F^r$, Greg. Cor. | οὐδὲν ἀπ' αὐτῶν C $F^r$: ἀπ' αὐτῶν οὐδὲν A B E G M, Greg. Cor. • **4-5** εἰ μὴ εἴ τι C $F^r$ (cf. Ros p. 397): εἰ μή τι A B E G M, Greg. Cor. • **8** μηδὲν A B C E G M, Greg. Cor.: οὐδὲν $F^r$ | ἀτολμοτέρα A B C E $F^r$ M, Greg. Cor.: ἀτι-μοτέρα G • **12** κτίσιν C E, Hermog., Greg. Cor.: κτῆσιν A B $F^r$ G M • **13** αὐτὴν A B C $F^r$ G M: αὐτῇ J, Greg. Cor.: ἐν αὐτῇ Hermog.: om. E • **16** ἃ ⟨G⟩ M, γρ. $C^3$, Hermog.: ἀφ' οὗ C E $F^r$, Greg. Cor.: ἃ ἀφ' οὗ A B | Λακεδαιμόνιοι A C E $F^r$ ⟨G⟩ M, Hermog., Greg. Cor.: οἱ Λακεδαιμόνιοι B • **17** τῇ αὐτῇ A C E $F^r$ ⟨G⟩ M, Hermog., Greg. Cor.: τοιαύτῃ B.

κατάλυσιν ἐκ τῆς Ἑλλάδος οὐ πολλοῖς ἔτεσιν ὕστερον καὶ ἡ ἐν
2 Μαραθῶνι μάχη Μήδων πρὸς Ἀθηναίους ἐγένετο. δεκάτῳ δὲ ἔτει μετ' αὐτὴν αὖθις ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἦλθεν. καὶ μεγάλου κινδύνου ἐπικρεμασθέντος οἵ τε Λακεδαιμόνιοι τῶν ξυμπολεμησάντων Ἑλλήνων ἡγήσαντο δυνάμει προύχοντες, καὶ οἱ Ἀθηναῖοι ἐπιόντων τῶν Μήδων διανοηθέντες ἐκλιπεῖν τὴν πόλιν καὶ ἀνασκευασάμενοι ἐς τὰς ναῦς ἐσβάντες ναυτικοὶ ἐγένοντο. κοινῇ τε ἀπωσάμενοι τὸν βάρβαρον, ὕστερον οὐ πολλῷ διεκρίθησαν πρός τε Ἀθηναίους καὶ Λακεδαιμονίους οἵ τε ἀποστάντες βασιλέως Ἕλληνες καὶ οἱ ξυμπολεμήσαντες. δυνάμει γὰρ ταῦτα μέγιστα διεφάνη · ἴσχυον γὰρ οἱ μὲν κατὰ γῆν,
3 οἱ δὲ ναυσίν. καὶ ὀλίγον μὲν χρόνον ξυνέμεινεν ἡ ὁμαιχμία, ἔπειτα διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι ἐπολέμησαν μετὰ τῶν ξυμμάχων πρὸς ἀλλήλους · καὶ τῶν ἄλλων Ἑλλήνων εἴ τινές που διασταῖεν, πρὸς τούτους ἤδη ἐχώρουν. ὥστε ἀπὸ τῶν Μηδικῶν ἐς τόνδε αἰεὶ τὸν πόλεμον τὰ μὲν σπενδόμενοι, τὰ δὲ πολεμοῦντες ἢ ἀλλήλοις ἢ τοῖς ἑαυτῶν ξυμμάχοις ἀφισταμένοις εὖ παρεσκευάσαντο τὰ πολέμια καὶ ἐμπειρότεροι ἐγένοντο μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι.
**19** καὶ οἱ μὲν Λακεδαιμόνιοι οὐχ ὑποτελεῖς ἔχοντες φόρου τοὺς ξυμμάχους ἡγοῦντο, κατ' ὀλιγαρχίαν δὲ σφίσιν αὐτοῖς μόνον

**13-15** καὶ – ἀλλήλους Suid. ο 237 (Adler) • **13** ὁμαιχμία Poll. I 153 (Bethe), Phot. s. v. (Naber) • **20** μετὰ – ποιούμενοι schol. Thuc. VI 72, 4 (Hude), schol. Aristid. 240, 15, 23 (Dind.), Plut. *Quom. quis suos in virt. sent. prof.* 79 F (Pat.–Wegeh.–Pohl.) • **21-22** καὶ – ἡγοῦντο Bekk. an. I 147, 32.

---

**4** ἦλθε(ν) A B C E ⟨G⟩ M: ἧκε F[r] Ud • **8** ἐσβάντες C F[r]: ἐμβάντες A B E G M • **12** διεφάνη codd.: δὴ ἐφάνη Stephanus • **14** ἔπειτα C F[r], Suid.: ἔπειτα δὲ A B E G M | Ἀθηναῖοι B C F[r] G: οἱ Ἀθηναῖοι A E M, Suid. • **16** εἴ A C E F[r] G M: οἵ B • **21** φόρου B E G M, Bekk. an.: φόρου+ C: φόρους A F[r].

ἐπιτηδείως ὅπως πολιτεύσουσι θεραπεύοντες, Ἀθηναῖοι δὲ
ναῦς τε τῶν πόλεων τῷ χρόνῳ παραλαβόντες πλὴν Χίων
καὶ Λεσβίων, καὶ χρήματα τοῖς πᾶσι τάξαντες φέρειν. καὶ
ἐγένετο αὐτοῖς ἐς τόνδε τὸν πόλεμον ἡ ἰδία παρασκευὴ μείζων
ἢ ὡς τὰ κράτιστά ποτε μετὰ ἀκραιφνοῦς τῆς ξυμμαχίας
ἤνθησαν.

Τὰ μὲν οὖν παλαιὰ τοιαῦτα ηὗρον, χαλεπὰ ὄντα παντὶ **20**
ἑξῆς τεκμηρίῳ πιστεῦσαι. οἱ γὰρ ἄνθρωποι τὰς ἀκοὰς τῶν
προγεγενημένων, καὶ ἢν ἐπιχώρια σφίσιν ᾖ, ὁμοίως ἀβασα-
νίστως παρ' ἀλλήλων δέχονται. Ἀθηναίων γοῦν τὸ πλῆθος 2
Ἵππαρχον οἴονται ὑφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος τύ-
ραννον ὄντα ἀποθανεῖν, καὶ οὐκ ἴσασιν ὅτι Ἱππίας μὲν πρε-
σβύτατος ὢν ἦρχε τῶν Πεισιστράτου υἱέων, Ἵππαρχος δὲ
καὶ Θεσσαλὸς ἀδελφοὶ ἦσαν αὐτοῦ, ὑποτοπήσαντες δέ τι
ἐκείνῃ τῇ ἡμέρᾳ καὶ παραχρῆμα Ἁρμόδιος καὶ Ἀριστογείτων
ἐκ τῶν ξυνειδότων σφίσιν Ἱππίᾳ μεμηνῦσθαι, τοῦ μὲν ἀπέ-
σχοντο ὡς προειδότος, βουλόμενοι δὲ πρὶν ξυλληφθῆναι
δράσαντές τι καὶ κινδυνεῦσαι, τῷ Ἱππάρχῳ περιτυχόντες
παρὰ τὸ Λεωκόρειον καλούμενον τὴν Παναθηναϊκὴν πομπὴν
διακοσμοῦντι ἀπέκτειναν. πολλὰ δὲ καὶ ἄλλα ἔτι καὶ νῦν 3
ὄντα καὶ οὐ χρόνῳ ἀμνηστούμενα καὶ οἱ ἄλλοι Ἕλληνες οὐκ
ὀρθῶς οἴονται, ὥσπερ τούς τε Λακεδαιμονίων βασιλέας μὴ

**5** ἀκραιφνές Dion. Hal. *De Thuc. propr.* 793 (Us.–Rad.) • **17-20** βουλόμενοι – ἀπέκτειναν Aristot. *Resp. Ath.* XVIII 3 (Opperm.) • **19** Λεωκόριον Hesych. λ 784 (Latte).

---

**1** πολιτεύσουσι C F$^{r}$: πολιτεύσωσι A B E G M • **2** πόλεων A B C E F$^{r}$ M: πολεμίων G B$^{2}$ • **12** ἴσασιν des. F$^{r}$ • **19** παρὰ Nb, Aristot. (cf. VI 57, 3): περὶ vett. (ex antecedenti περιτυχόντες corruptum) | Λεωκόρειον Aristot.: Λεωκόριον codd., schol. Θ, Hesych. • **22** τε om. C | μὴ om. M.

μιᾷ ψήφῳ προστίϑεσϑαι ἑκάτερον, ἀλλὰ δυοῖν, καὶ τὸν Πιτα-
νάτην λόχον αὐτοῖς εἶναι, ὃς οὐδ᾽ ἐγένετο πώποτε. οὕτως
ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληϑείας, καὶ ἐπὶ
21 τὰ ἑτοῖμα μᾶλλον τρέπονται. ἐκ δὲ τῶν εἰρημένων τεκμηρίων
ὅμως τοιαῦτα ἄν τις νομίζων μάλιστα ἃ διῆλϑον οὐχ ἁμαρτά-
νοι, καὶ οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν ἐπὶ τὸ μεῖζον
κοσμοῦντες μᾶλλον πιστεύων, οὔτε ὡς λογογράφοι ξυνέϑεσαν
ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει ἢ ἀληϑέστερον, ὄντα
ἀνεξέλεγκτα καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν ἀπίστως ἐπὶ
τὸ μυϑῶδες ἐκνενικηκότα, ηὑρῆσϑαι δὲ ἡγησάμενος ἐκ τῶν
2 ἐπιφανεστάτων σημείων ὡς παλαιὰ εἶναι ἀποχρώντως. καὶ
ὁ πόλεμος οὗτος, καίπερ τῶν ἀνϑρώπων ἐν ᾧ μὲν ἂν πολε-
μῶσι τὸν παρόντα αἰεὶ μέγιστον κρινόντων, παυσαμένων δὲ
τὰ ἀρχαῖα μᾶλλον ϑαυμαζόντων, ἀπ᾽ αὐτῶν τῶν ἔργων
σκοποῦσι δηλώσει ὅμως μείζων γεγενημένος αὐτῶν.
22 Καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι ἢ μέλλοντες πολεμήσειν
ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν
λεχϑέντων διαμνημονεῦσαι ἦν ἐμοί τε ὧν αὐτὸς ἤκουσα καὶ
τοῖς ἄλλοϑέν ποϑεν ἐμοὶ ἀπαγγέλλουσιν· ὡς δ᾽ ἂν ἐδόκουν
μοι ἕκαστοι περὶ τῶν αἰεὶ παρόντων τὰ δέοντα μάλιστ᾽ εἰ-
πεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀλη-
2 ϑῶς λεχϑέντων, οὕτως εἴρηται. τὰ δ᾽ ἔργα τῶν πραχϑέντων

**1-2** Πιτανάτης λόχος Hesych. s. v. (Schm.), Phot. s. v. Πιτάνη (Naber) • **3** ἀταλαίπωρος – ἀληϑείας Cram. an. Par. I 74, 4 • **6** – p. 46, **15** οὔτε – κατέστη Dion. Hal. *Thuc. iud.* 858–61 (Pavano) • **21-22** ἐχόμενον – λεχϑέντων Dion. Hal. *Thuc. iud.* 918 (Pavano).

---

**1** δυοῖν A B E F M: δυεῖν C ⟨G⟩ • **5** ἁμαρτάνοι A B E F M: ἁμαρτάνει C G • **8** τὸ om. E • **14** μᾶλλον ϑαυμαζόντων A B C E G M, Dion. Hal.: ϑαυμαζόντων μᾶλλον F | τῶν om. E • **17** αὐτὴν A B C E F G, Dion. Hal.: αὐτῶν M • **20** μοι C G, Dion. Hal.: ἐμοὶ A B E F M • **21** ἐχομένῳ ὅτι ἐγγύτατα codd., Dion. Hal. 859: ἐχόμενον ὡς ἔγγιστα (εἴ τις τὰ codd.: corr. Reiske) Dion. Hal. 918 • **22** λεχϑέντων A B C E F G, Dion. Hal.: λεγόντων M.

ἐν τῷ πολέμῳ οὐκ ἐκ τοῦ παρατυχόντος πυνθανόμενος ἠξί-
ωσα γράφειν, οὐδ' ὡς ἐμοὶ ἐδόκει, ἀλλ' οἷς τε αὐτὸς παρῆν
καὶ παρὰ τῶν ἄλλων ὅσον δυνατὸν ἀκριβείᾳ περὶ ἑκάστου
ἐπεξελθών. ἐπιπόνως δὲ ηὑρίσκετο, διότι οἱ παρόντες τοῖς 3
ἔργοις ἑκάστοις οὐ ταὐτὰ περὶ τῶν αὐτῶν ἔλεγον, ἀλλ' ὡς
ἑκατέρων τις εὐνοίας ἢ μνήμης ἔχοι. καὶ ἐς μὲν ἀκρόασιν ἴσως 4
τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ βου-
λήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν καὶ τῶν μελ-
λόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπινον τοιούτων καὶ παρα-
πλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει.
κτῆμά τε ἐς αἰεὶ μᾶλλον ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκού-
ειν ξύγκειται.

Τῶν δὲ πρότερον ἔργων μέγιστον ἐπράχθη τὸ Μηδικόν, **23**
καὶ τοῦτο ὅμως δυοῖν ναυμαχίαιν καὶ πεζομαχίαιν ταχεῖαν
τὴν κρίσιν ἔσχεν. τούτου δὲ τοῦ πολέμου μῆκός τε μέγα
προύβη, παθήματά τε ξυνηνέχθη γενέσθαι ἐν αὐτῷ τῇ Ἑλ-
λάδι οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. οὔτε γὰρ πόλεις τοσαίδε 2
ληφθεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων, αἱ δ' ὑπὸ

**6-12** καὶ – σύγκειται Dion. Hal. *Thuc. iud.* 823–24 (Pavano) • **7-10** ὅσοι – ὠφέλιμα Dion. Hal. *Ars rhet.* 398–99 (Us.-Rad.) • **11** ἐς ἀεὶ κτῆμα Lucian. *Hist. conscr.* 5 (Kilburn) | κτῆμα, ἀγώνισμα Plin. min. *Ep.* V 8, 11 (Schuster) • **11-12** κτῆμα – σύγκειται Dion. Hal. *De comp. verb.* 165–66 (Us.-Rad.) • **15** – p. 46, **10** τούτου – νόσος Dion. Hal. *De Demosth.* 1074–75 (Us.-Rad.).

---

**2** ἐδόκει C G, Dion. Hal. (cod. P): δοκεῖ A B E F M, Dion. Hal. (cod. M) | παρῆν codd., Dion. Hal. (cod. M): παρῇ (!) Dion. Hal. (cod. P) • **3** παρὰ codd., Dion. Hal.: περὶ Linwood, *JKPh*, 85, 1862, 197: ⟨τὰ⟩ παρὰ Ullrich, *Beitr. z. Erkl.* p. 127 sq., sed cf. Ros p. 393 et Maddalena • **6** ἑκατέρων C G M, Dion. Hal.: ἑκατέρῳ A B E F | ἔχοι codd., Dion. Hal.: εἶχεν supra lin. G¹ • **8** γενομένων codd., Dion. Hal. 399: γεγονότων Dion. Hal. 824 et 859 • **9** ἀνθρώπινον C G, Dion. Hal. 859: ἀνθρώπειον A B E F M, Dion. Hal. 824: ἀνθρώπιον Dion. Hal. 399 • **13** ἔργων A B C G M, Dion. Hal. (cod. P): ἔργον E F, Dion. Hal. (cod. M) • **14** δυοῖν C E¹: δυεῖν A B E F G M, Dion. Hal. • **16** ἐν αὐτῷ om. Dion. Hal. 1074 • **17** οἷα codd.: πολλὰ οἷα Dion. Hal. 1074.

σφῶν αὐτῶν ἀντιπολεμούντων (εἰσὶ δ' αἳ καὶ οἰκήτορας με-
τέβαλον ἁλισκόμεναι), οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων καὶ
φόνος, ὁ μὲν κατ' αὐτὸν τὸν πόλεμον, ὁ δὲ διὰ τὸ στασιάζειν.
3 τά τε πρότερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σπανιώτερον βε-
βαιούμενα οὐκ ἄπιστα κατέστη, σεισμῶν τε πέρι, οἳ ἐπὶ πλεῖ-
στον ἅμα μέρος γῆς καὶ ἰσχυρότατοι οἱ αὐτοὶ ἐπέσχον, ἡλίου
τε ἐκλείψεις, αἳ πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν χρόνου μνη-
μονευόμενα ξυνέβησαν, αὐχμοί τε ἔστι παρ' οἷς μεγάλοι καὶ
ἀπ' αὐτῶν καὶ λιμοὶ καὶ ἡ οὐχ ἥκιστα βλάψασα καὶ μέρος τι
φθείρασα ἡ λοιμώδης νόσος· ταῦτα γὰρ πάντα μετὰ τοῦδε
4 τοῦ πολέμου ἅμα ξυνεπέθετο. ἤρξαντο δὲ αὐτοῦ Ἀθηναῖοι
καὶ Πελοποννήσιοι λύσαντες τὰς τριακοντούτεις σπονδὰς αἳ
5 αὐτοῖς ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν. δι' ὅ τι δ' ἔλυσαν, τὰς
αἰτίας προύγραψα πρῶτον καὶ τὰς διαφοράς, τοῦ μή τινα
ζητῆσαί ποτε ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέ-
6 στη. τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην
δὲ λόγῳ, τοὺς Ἀθηναίους ἡγοῦμαι μεγάλους γιγνομένους
καὶ φόβον παρέχοντας τοῖς Λακεδαιμονίοις ἀναγκάσαι ἐς τὸ
πολεμεῖν· αἱ δ' ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι αἵδ' ἦσαν

**11 – p. 47, 5** ἤρξαντο – ἔθνος Dion. Hal. *Thuc. iud.* 833 (Pavano) • **12** τριακοντούτεις σπονδαί Ael. Dion. τ 24 (Erbse) • **13** μετὰ – ἅλωσιν schol. Aristid. 226, 27 (Dind.) • **13-15** τὰς αἰτίας – κατέστη Priscian. XVIII 209 et 294 (Hertz) • **16-19** τὴν – πολεμεῖν Dion. Hal. *De Thuc. propr.* 796 (Us. – Rad.).

---

**6** ἰσχυρότατοι A B C E F M, Dion. Hal.: ὑψηλότερον ante corr. G • **7** πυκνότεραι A B C E G M, Dion. Hal.: πυκνότερα F | τὰ – μνημονευόμενα codd., Dion. Hal. 1075: τὰς – μνημονευομένας Dion. Hal. 861 • **9** ἡ C G M, Dion. Hal.: om. A B E F • **11** ξυνεπέθετο codd.: ξυνετίθετο Dion. Hal. • **13** δι' ὅτι E G M: διότι C, Dion. Hal.: δι' ὅτε A B: διό F | δ' C E F G M, Dion. Hal.: om. A B • **14** προυγραψα E: προέγραψα A B F M, Dion. Hal. 833: προσέγραψα Dion. Hal. 861, Priscian. 209: ἔγραψα C G: συνέγραψα Priscian. 294 | τινα A B E F M, Dion. Hal. 861, Priscian.: τινας C G, Dion. Hal. 833 • **17** γιγνομένους codd., Dion. Hal.: γεγενημένους Weidner, *Gymn. Progr. Giess.*, 1875, 22.

ἑκατέρων, ἀφ' ὧν λύσαντες τὰς σπονδὰς ἐς τὸν πόλεμον
κατέστησαν.

Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον **24**
κόλπον· προσοικοῦσι δ' αὐτὴν Ταυλάντιοι βάρβαροι, Ἰλ-
λυρικὸν ἔθνος. ταύτην ἀπῴκισαν μὲν Κερκυραῖοι, οἰκιστὴς 2
δ' ἐγένετο Φαλίος Ἐρατοκλείδου Κορίνθιος γένος τῶν ἀφ'
Ἡρακλέους, κατὰ δὴ τὸν παλαιὸν νόμον ἐκ τῆς μητροπό-
λεως κατακληθείς. ξυνῴκισαν δὲ καὶ Κορινθίων τινὲς καὶ τοῦ
ἄλλου Δωρικοῦ γένους. προελθόντος δὲ τοῦ χρόνου ἐγένετο 3
ἡ τῶν Ἐπιδαμνίων πόλις μεγάλη καὶ πολυάνθρωπος· στα- 4
σιάσαντες δὲ ἐν ἀλλήλοις ἔτη πολλά, ὡς λέγεται, ἀπὸ πολέ-
μου τινὸς τῶν προσοίκων βαρβάρων ἐφθάρησαν καὶ τῆς
δυνάμεως τῆς πολλῆς ἐστερήθησαν. τὰ δὲ τελευταῖα πρὸ 5
τοῦδε τοῦ πολέμου ὁ δῆμος αὐτῶν ἐξεδίωξε τοὺς δυνατούς,
οἱ δὲ ἐπελθόντες μετὰ τῶν βαρβάρων ἐλῄζοντο τοὺς ἐν τῇ
πόλει κατά τε γῆν καὶ κατὰ θάλασσαν. οἱ δὲ ἐν τῇ πόλει 6

**3** Ἐπίδαμνος Appian. *B. C.* II 39 (Mend.–Vier.) • **3-4** Ἐπίδαμνός – κόλπον Harp. s. v. Ἰόνιος (Dind.), [Demetr.] *De eloc.* 199 (Rad.), schol. Pind. *Pyth.* III 120 b (Drachm.) | Ἐπίδαμνός – βάρβαροι Max. Tyr. *Diss.* 22, 5 (Hobein) • **3-5** Ἐπίδαμνός – ἔθνος Dion. Hal. *De comp. verb.* 27 (Us.–Rad.) • **3-4** ἔστι – κόλπον Hesych. ε 2764 (Latte) • **3** ἐν δεξιᾷ εἰσπλέοντι Poll. II 161 (Bethe) • **4-5** προσοικοῦσι – ἔθνος Priscian. XVIII 280 (Hertz) • **5-6** ταύτην – ἐγένετο [Demetr.] *De eloc.* 72 (Rad.) • **8** – p. 48, **3** ξυνῴκησαν – φθειρομένους Greg. Cor. *Ad Hermog.* Rhet. Gr. VII 1340, 23 (Walz) • **10-11** στασιάσαντες – λέγεται Aristid. Rhet. Gr. II 548, 27 (Sp.) • **10-12** στασιάσαντες – ἐφθάρησαν Hermog. *Meth.* 453, 7 (Rabe) • **14** ἐξεδίωξεν Poll. IX 157 (Bethe).

---

**3** τὸν vett., Dion. Hal., Harp., Max. Tyr., Hesych., schol. Pind.: ἐς τὸν Ea, [Demetr.], def. Krüger, at cf. Steup • **6** Φαλίος ABCEFM: Φάλιος G, schol. C² • **8** ξυνῴκισαν ABCEGM: ξυνῴκησαν FE¹, Greg. Cor. | Κορινθίων ABCEFM: τῶν Κορινθίων G • **8-9** τοῦ ἄλλου ABCEFM, Greg. Cor.: ἄλλοι ἐκ τοῦ G • **10** πόλις ABFC²Ud, Greg. Cor.: δύναμις CG (quod minime cum πολυάνθρωπος convenit): δύναμις πόλις EM • **15** ἐπελθόντες Haase, *Lucc.* p. 60: ἀπελθόντες codd., Greg. Cor.